αἱμορροῶν· οἱ δὲ ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν(58) κατ' αὐτοῦ βαλεῖν· σιδήρῳ[58] γὰρ 59) οὐκ ἦν τρωτός· καὶ οὕτω τελευτᾷ. οἱ δὲ ὅτι αὐτόχειρ αὑτοῦ γέγονεν 60), ὧν ἐστι καὶ Σοφοκλῆς. περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος 61), ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυψεν ἡ λεοντῆ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινε 62) 63).

(58.) πηλόν] Cf. Sophron ap. Demetr. Phal. c. 147. θᾶσαι ὅσα φύλλα καὶ κάρφεα τοὶ παῖδες τοὺς ἄνδρας βαλλίζοντι, οἱόνπερ φαντὶ φιλάτας Τρῶας τὸν Αἴαντα τῷ παλῷ.

[58.] σιδήρῳ] Plat. Symp. p. 219 E. εὖ γὰρ ᾔδη ὅτι χρήμασί τε πολὺ μᾶλλον ἄτρωτος ἦν πανταχῇ ἢ σιδήρῳ ὁ Αἴας, ᾧ τε ᾤμην αὐτὸν μόνῳ ἁλώσεσθαι, διεπεφεύγει με. The same account was followed by Æschylus in his Θρῇσσαι, in which play the messenger, who gives an account of the death of Ajax, says ὅτι καὶ τὸ ξίφος ἐκάμπτετο, οὐδαμῇ ἐνδιδόντος τοῦ χρωτὸς τῇ σφαγῇ — πρὶν δή τις παροῦσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ. V. schol. ad 833.

59. γάρ] δὲ A.

60. αὐτόχειρ αὑτοῦ γέγονεν] ἑαυτοῦ γέγονεν ἀναιρέτης Jen.

61. The allusion perhaps is to Isthm. V. 44., but there is no mention made there of his vulnerable side, as Bœckh remarks ad Pind. Fr. 180. Cf. Schol. ad Hom. Il. ψ'. 821. καὶ τὸ πᾶν τοῦ σώματος ἐγένετο ἄτρωτον πλὴν τοῦ αὐχένος· τοῦτο γὰρ ἐδόκει τότε κατὰ τύχην τὸ μέρος μὴ περιβεβλῆσθαι τῇ λεοντῇ. Eust. p. 1331, 31. ὅτι καθ' Ὅμηρον (Il. ψ'. 821. αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ) οὐ τὴν πλευρὰν μόνην τρωτὸς ὁ Αἴας, ὡς οἱ μεθ' Ὅμηρον εἶπον, εἴπερ Διομήδης καταθαρρεῖ τοῦ αὐχένος.

62. ὅτι — ἔμεινε] διὰ τὸ μὴ περικεκαλυμμένην εἶναι τῇ λεοντῇ Jen. ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυπτεν ἡ τοῦ Ἡρακλέους λεοντῆ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν, ὅπερ ἦν ἡ πλευρὰ, τρωτὸν ἔμεινε (ἦν T. Dresd. a. Turn.) T. Dresd. a. Mosq. a. Turn. Wund.

63. τὸ κεφάλαιον δὲ τοῦ δράματος Αἴαντος μανία καὶ τελευτὴ add. T. ἡ δὲ ἐπιγραφὴ Αἴας μαστιγοφόρος add. Mosq. a.